ΕΚ. χρυσὸς πάρεστιν, εἰ τόδ' αἰτήσει γέρας.
ΔΟ. ἀλλ' ἔστ' ἐν οἴκοις· οὐ βίου σπανίζομεν.
ΕΚ. τί δῆτα χρῄζεις ὧν κέκευθεν Ἴλιον;
ΔΟ. ἑλὼν Ἀχαιοὺς δῶρά μοι ξυναίνεσον.
ΕΚ. δώσω· σὺ δ' αἴτει πλὴν στρατηλάτας νεῶν.
ΔΟ. κτεῖν', οὔ σ' ἀπαιτῶ Μενέλεω σχέσθαι χέρα.
ΕΚ. οὐ μὴν τὸν Οἰλέως παῖδά μ' ἐξαιτεῖς λαβεῖν;
ΔΟ. κακαὶ γεωργεῖν χεῖρες εὖ τεθραμμέναι.
ΕΚ. τίν' οὖν Ἀχαιῶν ζῶντ' ἀποινᾶσθαι θέλεις;
ΔΟ. καὶ πρόσθεν εἶπον· ἔστι χρυσὸς ἐν δόμοις.
ΕΚ. καὶ μὴν λαφύρων γ' αὐτὸς αἱρήσει παρών.
ΔΟ. θεοῖσιν αὐτὰ πασσάλευε πρὸς δόμους.
ΕΚ. τί δῆτα μεῖζον τῶνδέ μ' αἰτήσει γέρας;
ΔΟ. ἵππους Ἀχιλλέως· χρὴ δ' ἐπ' ἀξίοις πονεῖν,
ψυχὴν προβάλλοντ' ἐν κύβοισι δαίμονος.
ΕΚ. καὶ μὴν ἐρῶντί γ' ἀντερᾷς ἵππων ἐμοί·
ἐξ ἀφθίτων γὰρ ἄφθιτοι πεφυκότες
τὸν Πηλέως φέρουσι θούριον γόνον·
δίδωσι δ' αὐτοὺς πωλοδαμνήσας ἄναξ
Πηλεῖ Ποσειδῶν, ὡς λέγουσι, πόντιος.
ἀλλ' οὔ σ' ἐπάρας ψεύσομαι· δώσω δέ σοι
κάλλιστον οἴκοις κτῆμ' Ἀχιλλέως ὄχον.
ΔΟ. αἰνῶ· λαβὼν δέ φημι κάλλιστον Φρυγῶν
δῶρον δέχεσθαι τῆς ἐμῆς εὐσπλαγχνίας.
σὲ δ' οὐ φθονεῖν χρή· μυρί' ἔστιν ἄλλα σοι
ἐφ' οἷσι τέρψει τῆσδ' ἀριστεύων χθονός.
ΧΟ. μέγας ἀγών· μεγάλα δ' ἐπινοεῖς ἑλεῖν. ἀντ.
μακάριός γε μὴν κυρήσας ἔσει·
πόνος δ' εὐκλεής.
μέγα δὲ κοιράνοισι γαμβρὸν πέλειν.
τὰ θεόθεν ἐπιδέτω Δίκα,
τὰ δὲ παρ' ἀνδράσιν τέλειά σοι φαίνεται.
ΔΟ. στείχοιμ' ἄν· ἐλθὼν δ' ἐς δόμους ἐφέστιος
σκευῇ πρεπόντως σῶμ' ἐμὸν καθάψομαι,
κἀκεῖθεν ἥσω ναῦς ἐπ' Ἀργείων πόδα.
ΧΟ. ἐπεὶ τίν' ἄλλην ἀντὶ τῆσδ' ἕξεις στολήν;

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG